*γητής, γήρως βακτηρία, πίστεως ἔρεισμα, τῶν ἔνδον*[13] *ὁ πιστότατος, τῶν ἐκτὸς*[14] *ὁ πρακτικώτατος. Ἑνὶ λόγῳ, τοσοῦτος εἰς εὔνοιαν, ὅσος εἰς ἔχθραν τὸ πρὶν ἐνομίζετο.*

§ 44. *Ἐντεῦθεν αὐτῷ περιῆν*[2] *καὶ τὸ κράτος τῆς Ἐκκλησίας, εἰ καὶ τῆς καθέδρας εἶχε τὰ δεύτερα· τὴν γὰρ εὔνοιαν εἰσφέρων, τὴν ἐξουσίαν ἀντελάμβανε.* Καὶ *ἦν θαυμαστή τις ἡ συμφωνία καὶ ἡ πλοκὴ τοῦ δύνασθαι, ὁ μὲν*[3] *τὸν λαὸν ἦγεν, ὁ δὲ*[4] *τὸν ἄγοντα· καὶ οἷον λεοντοκόμος τις ἦν, τέχνῃ τιθασσεύων τὸν δυναστεύοντα.* Καὶ *γὰρ ἐδεῖτο,*[5] *νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τεθείς· ἔτι δὲ τῆς κοσμικῆς ὕλης τι πνέων, οὔπω δὲ κατηρτισμένος ἐν τοῖς τοῦ πνεύματος, πολλοῦ δὲ τοῦ κλείδωνος περιζέοντος, καὶ τῶν ἐπικειμένων τῆς Ἐκκλησίας ἐχθρῶν, τοῦ χειραγωγοῦντος, καὶ ὑπερείδοντος.* Διὰ *τοῦτο καὶ τὴν συμμαχίαν*[6] *ἠγάπα, καὶ κρατοῦντος ἐκείνου*[7] *κρατεῖν αὐτὸς*[8] *ὑπελάμβανε.*

§ 45. Τῆς *δὲ περὶ τὴν* Ἐκκλησίαν *τοῦ ἀνδρὸς κηδαιμονίας καὶ προστασίας, πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα.* Παῤῥησία *πρὸς τοὺς ἄρχοντας τούς τε ἄλλους καὶ τοὺς δυνατωτάτους τῆς πόλεως· διαφορῶν λύσεις*[2] *οὐκ ἀπιστούμεναι, ἀλλ᾽ ὑπὸ τῆς ἐκείνου φωνῆς τυπούμεναι, νόμῳ τῷ τρόπῳ χρώμεναι· προστασίαι τῶν δεομένων, αἱ μὲν πλείους πνευματικαί, οὐκ ὀλίγαι δὲ καὶ σωματικαί· καὶ γὰρ καὶ τοῦτο πολλάκις εἰς ψυχὴν φέρει δι᾽ εὐνοίας δουλούμενον.* Πτωχοτροφίαι,[3] *ξενοδοχεῖαι, παρθενοκομίαι, νομοθεσίαι μοναστῶν*[4] *ἔγγραφοί τε καὶ ἄγραφοι· εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος·*[5] *τἄλλα, οἷς ἂν ὁ ἀληθῶς ἄνθρωπος τοῦ* Θεοῦ, *καὶ μετὰ* Θεοῦ *τεταγμένος, λαὸν ὠφελήσειεν. Ἓν δέ, ὃ μέγιστόν τε καὶ γνωριμώτατον·* Λιμὸς *ἦν καὶ τῶν πώποτε μνημονευομένων ὁ χαλεπώτατος· ἔκαμνε δὲ ἡ πόλις· ἐπικουρία δὲ ἦν οὐδαμόθεν, οὐδέ τι φάρμακον*

---

13. Τῶν ἔνδον.) Βήματος ἐλλείπει· καὶ δηλοῖ τῶν πιστῶν· ἢ ἐὰν περὶ λόγων ὁ λόγος, τὰς γραφὰς δηλοῖ. — 14. Τῶν ἐκτός.) Ἤτοι πολιτικῶν, ἤγουν τῆς θύραθεν σοφίας, καὶ Ἑλληνικῆς παιδείας.

§. 44. 2. Περιῆν.) Εἶχε δηλαδὴ τὸ κράτος τῆς Ἐκκλησίας, καίτοι πρεσβύτερος ὢν τὴν ἀξίαν. — 3. Ὁ μέν.) Εὐσέβειος ἐπίσκοπος ὤν. — 4. Ὁ δέ.) Βασίλειος διὰ τῆς εὐνοίας πρὸς ἑαυτὸν ἕλκων τὸν Εὐσέβειον. — 5. Καὶ γὰρ ἐδεῖτο.) Ὁ Εὐσέβειος· ἡ δὲ σύνταξις· Καὶ γὰρ ὁ Εὐσέβειος, νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τιθείς, ἔτι δέ. . . . ἐχθρῶν, ἐδεῖτο τοῦ χειραγωγ. — 6. Συμμαχίαν.) Τοῦ μεγ. Βασιλ. — 7. Ἐκείνου.) Τοῦ μεγ. Βασιλείου. — 8. Αὐτός.) Ὁ Εὐσέβειος.

§. 45. 2. Διαφορῶν λύσεις.) Τὰς διενέξεις καὶ μάχας ἐνίων λέγει· ἃς ὁ μέγας Βασίλειος ἔλυε βεβαίως, χωρίς τινος ὑποψίας· ὥσθ᾽ ὁ τρόπος, καθ᾽ ὃν τὰς διαφορὰς ἔλυε, νόμος ἐγίγνετο, ὥστε τὰ αὐτὰ ὁμοίως λύεσθαι. — 3. Πτωχοτροφίαι.) Ἐπεξήγησις τῶν σωματικῶν προστασιῶν. — 4. Νομοθεσίαι μοναστῶν.) Τὰ ἀσκητικὰ λέγει, ἔνθα, ὅπως τοὺς μοναστὰς βιῶναι δεῖ, διαλαμβάνει· περὶ ὧν φασί τινες, ὧν καὶ Νικηφόρος, μὴ εἶναι τοῦ μεγ. Βασιλ. ἀλλ᾽ Εὐσταθείου Σεβαστείας ἐπισκόπου· Νικήτας δὲ Σεῤῥῶν, Βασιλ. εἶναι λέγει, ἐκ τῆς ὑφῆς τοῦ λόγου ἐπιχειρῶν. — 5. Εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος.) Πολλὰς ἄλλας τε εὐχὰς λέγει τοῦ μεγ. Βασιλ. καὶ τὴν ἱερὰν μυσταγωγίαν· τοῦτ᾽ ἔστι. τὴν καὶ ἱερὰν

ΕΥ.Δ.Π.Ε.Κ.Τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

τῆς κακώσεως. Αἱ μὲν γὰρ παράλιαι τὰς τοιαύτας ἐνδείας οὐ χαλεπῶς ἀναφέρουσι, διδοῦσαι τὰ παρ᾽ ἑαυτῶν, καὶ τὰ παρὰ τῆς θαλάσσης δεχόμεναι, τοῖς δ᾽ ἠπειρώταις ἡμῖν, καὶ τὸ περιττεῦον ἀνόνητον, καὶ τὸ ἐνδέον ἀνεπινόητον, οὐκ ἔχουσιν ὅπως ἢ διαθώμεθά τι τῶν ὄντων, ἢ τῶν οὐκ ὄντων εἰσκομισώμεθα. Καὶ ὃ χαλεπώτατόν ἐστιν ἐν τοῖς τοιούτοις[6] ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία· τηροῦσι γὰρ τοὺς καιρούς, καὶ καταπραγματεύονται[7] τῆς ἐνδείας, καὶ γεωργοῦσι τὰς συμφοράς, οὔτε τῷ Κυρίῳ δανείζειν[8] τὸν ἐλεοῦντα πτωχοὺς ἀκούοντες, οὐδ᾽ ὅτι ὁ συνέχων[9] σῖτον δημοκατάρατος, οὔτ᾽ ἄλλο οὐδὲν τῶν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένων, ἢ τοῖς ἀπανθρώποις ἠπειλημένων, ἀλλ᾽ εἰσὶ τοῦ δέοντος ἀπληστότεροι, καὶ φρονοῦσι κακῶς, ἐκείνοις μὲν[10] τὰ ἑαυτῶν, ἑαυτοῖς τὰ τοῦ Θεοῦ σπλάγχνα κλείοντες· οὗ καὶ μᾶλλον χρήζοντες, ἀγνοοῦσιν, ἢ αὐτῶν ἕτεροι. Ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκάπηλοι, μήτε τὸ συγγενὲς[11] αἰδούμενοι, μήτε περὶ τὸ θεῖον εὐχάριστοι, παρ᾽ οὗ τὸ ἔχειν αὐτοῖς,[12] ἄλλων πιεζομένων. Ὁ δὲ[13] ὕειν μὲν οὐκ εἶχεν ἄρτον ἐξ οὐρανοῦ δι᾽ εὐχῆς, καὶ τρέφειν ἐν ἐρήμῳ λαὸν φυγάδα,[14] οὐδὲ πυθμέσι[15] πηγάζειν τροφὴν ἀδάπανον κενώσει πληρουμένοις, ὃ καὶ παράδοξον· ἵνα τρέφῃ τρέφουσαν εἰς φιλοξενίας ἀντίδοσιν· οὐδὲ πέντε ἄρτοις[16] ἑστιᾷν χιλιάδας, ὧν καὶ τὰ λείψανα πολλῶν τραπεζῶν ἄλλη δύναμις.[17] Ταῦτα γὰρ Μωϋσέως ἦν, καὶ Ἠλιοῦ,[18] καὶ τοῦ ἐμοῦ Θεοῦ, παρ᾽ οὗ[19] κἀκείνοις τὸ ταῦτα δύνασθαι· Ἴσως δὲ[20] καὶ τῶν καιρῶν ἐκείνων, καὶ τῆς

---

λειτουργίαν. — 6. Ἐν τοῖς τοιούτοις.) Καιροῖς ἢ πράγμασιν. — 7. Καταπραγματεύονται.) Πρὸς ταῦτα φησὶ Νικήτας· Οὐ θεραπεύουσι τὸ στέρημα τῶν δεομένων, ἀλλ᾽ ἐπιτρίβουσι καὶ αὔξουσι τὸ πάθος· καὶ πολλαπλασίους εἰσφορὰς ἑαυτοῖς ἐξ ἀδικίας, καὶ πάσης καπηλείας πραγματειῶν ἐπινοοῦσι. — 8. Δανείζειν.) Παροιμ. θ΄. 17. Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. — 9. Ὁ συνέχων.) Παροιμ. ιά. 26. — 10. Ἐκείνοις μέν.) Τοῖς δεομένοις. — 11. Τὸ συγγενές.) Ὅτι δηλ. εἰσὶν ἄνθρωποι. — 12. Τὸ ἔχειν αὐτοῖς.) Δέδοται· ἢ ὑπάρχει. — 13. Ὁ δέ.) Μέγ. Βασίλ. — 14. Λαὸν φυγάδα.) Ἔξοδ. ις΄. 2. . . . 18. ὅρα καὶ σημειώσ. ή. 2. 3. — 15. Πυθμέσι.) Τὸ τῆς χήρας λέγει· ἧς ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλειπε, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη· Βασιλ. Γ΄. ιζ. 14. ὁ γὰρ προφήτης Ἠλίας κατὰ θείαν προσταγὴν ἐλθὼν εἰς χήρας οἰκίαν, μὴ ἐχούσης τρέφειν ἑαυτὴν καὶ τὸ τέκνον αὐτῆς, ηὐλόγησεν αὐτήν· καὶ ἦν ἀεὶ πλήρης ἡ ὑδρία ἀλεύρου, καὶ ὁ καψάκης ἐλαίου. — 16. Πέντε ἄρτοις.) Ὄντος γὰρ τοῦ Ἰησοῦ Χριστοῦ ἐν ἐρήμῳ, καὶ ἑπομένων αὐτῷ ὄχλων πολλῶν, μὴ ἐχόντων τε φαγεῖν, πέντε ἄρτων τοῖς Ἀποστόλοις ὑπαρχόντων, λαβὼν καὶ εὐλογήσας ὁ Κύριος ἐχόρτασε πάντας, καὶ τὰ καταλειφθέντα ἦσαν κόφινοι δώδεκα πλήρεις· Ματθ. ιδ΄. 14. Μαρκ. ς΄. 34. . . 44. — 17. Ἄλλη δύναμις.) Οἷον, ὧν πέντε ἄρτων τὰ λείψανα ἦσαν ἄλλη δύναμις πολλῶν τραπεζῶν. — 18. Μωϋσέως ἦν, καὶ Ἠλιοῦ.) Μωϋσέως μέν, τὸ τραφῆναι ἐν ἐρήμῳ φυγάδα λαόν· Ἠλιοῦ δέ, τὸ τὴν χήραν θρέψαι· Τοῦ δὲ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ τοὺς τοσούτους ὄχλους πέντε ἄρτοις χορτάσαι. — 19. Παρ᾽ οὗ.) Θεοῦ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ δηλ. καὶ Μωσῇ καὶ Ἠλίᾳ δέδοται τὸ ταῦτα δύνασθαι. — 20. Ἴσως δέ.) Ἦν ταῦτα ἴδια ἐκείνων τῶν καιρῶν, ὅτε

*τότε καταστάσεως· ἐπειδὴ τὰ σημεῖα τοῖς ἀπίστοις οὐ τοῖς πιστεύουσιν. Ἃ δὲ τούτοις ἐστὶν ἀκόλουθα, καὶ εἰς ταὐτὸν φέρει, ταῦτα καὶ διενοήθη, καὶ κατεπράξατο μετὰ τῆς αὐτῆς πίστεως· λόγῳ[21] γὰρ τὰς τῶν ἐχόντων ἀποθήκας ἀνοίξας, καὶ παραινέσει, ποιεῖ τὸ τῆς γραφῆς, διαθρύπτει[22] πεινῶσι τροφὴν, καὶ χορτάζει[23] πτωχοὺς ἄρτων, καὶ διατρέφει αὐτοὺς ἐν λιμῷ, καὶ ψυχὰς πεινώσας[24] ἐμπίπλησιν ἀγαθῶν.* Καὶ *τίνα τρόπον; οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην. Συναγαγὼν[25] ἐν ταὐτῷ τοὺς λιμοῦ τραυματίας,[26] ἔστι δὲ οὓς καὶ μικρὸν ἀναπνέοντας, ἄνδρας καὶ γυναῖκας, νηπίους, γέροντας, πᾶσαν ἡλικίαν ἐλεεινὴν, πᾶν εἶδος τροφῆς ἐρανίζων, ὅση τυγχάνει λιμοῦ βοήθεια, ἔτνους[27] τε πλήρεις προσθεὶς λέβητας, καὶ τοῦ ταριχευτοῦ παρ' ἡμῖν ὄψου, καὶ πένητας τρέφοντος. Ἔπειτα τὴν τοῦ* Χριστοῦ *διακονίαν μιμούμενος, ὃς καὶ λεντίῳ[28] διαζωννύμενος, οὐκ ἀπηξίου νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ τοῖς ἑαυτοῦ παισὶν, εἴτ' οὖν συνδούλοις πρὸς τοῦτο συνεργοῖς χρώμενος, ἐθεράπευε μὲν τὰ σώματα τῶν δεομένων, ἐθεράπευε δὲ τὰς ψυχὰς, συμπλέκων τῇ χρείᾳ τὸ τῆς τιμῆς,[29] καὶ ῥᾴους ποιῶν ἀμφοτέρωθεν.*

§ 46. Τοιοῦτος *ἦν ὁ νέος σιτοδότης ἡμῖν καὶ δεύτερος Ἰωσήφ,*[2] *πλὴν ὅτι καὶ πλέον τι λέγειν ἔχομεν. Ὁ μὲν γὰρ*[3] *καταπραγματεύεται τοῦ λιμοῦ, καὶ τὴν Αἴγυπτον ἐξωνεῖται τῷ φιλανθρώπῳ,*[4] *τὸν τῆς ἀφθονίας καιρὸν εἰς τὸν τοῦ λιμοῦ διατιθέμενος, καὶ τοῖς ἑτέρων ὀνείροις εἰς τοῦτο διατασσόμενος. Ὁ δὲ*[5] *προῖκα χρηστὸς*

---

καὶ θαυμάτων ἦν καιρός· Τὰ γὰρ θαύματα διὰ τοὺς μὴ πιστεύοντας γίνεται, οὐχὶ δὲ διὰ τοὺς πιστούς. — 21. Λόγῳ.) Τὸν Εἰς τὸ καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, λόγον συνθείς. — 22. Διαθρύπτει.) Ἠσαΐ. νή. 7. Τωβίτ. δ'. 16. — 23. Καὶ χορτάζει.) Ψαλμ. λς', 19. ρλά, 15, λβ', 18, 19. — 24. Καὶ ψυχὰς πεινώσας.) Λουκ. ά. — 25. Συναγαγών.) Ἐννοεῖται Ἐμπίπλησι. — 26. Τοὺς λιμοῦ τραυματίας.) Ἱερεμ. Θρῆν. δ'. 9. δεικνὺς ὅτι καὶ λιμὸς τραυματίζει οὐκ ἔλαττον ξίφους. — 27. Ἔτνους.) Εἶδος ὀσπρίων τὸ ἔτνος εἶναι Νικήτας λέγει, ὡς κύαμοι· παρὰ δὲ Βαρίνῳ, ὃ νῦν οἱ ἰδιῶται καὶ ἄγροικοι φάβαν λέγουσι. — 28. Ὃς καὶ λεντίῳ.) Ἰωάνν. ιγ'. 4. . . . 11. Ἐν γὰρ τῷ δείπνῳ τῷ μυστικῷ ὁ Κύριος περιζωσάμενος λεντίῳ, ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. — 29. Τὸ τῆς τιμῆς.) Τὴν τιμήν.

§ 46. 2. Καὶ δεύτερος Ἰωσήφ.) Ἰωσὴφ ὁ πάγκαλλος καλούμενος διὰ τὴν εὐμορφίαν, υἱὸς Ἰακὼβ, πωληθεὶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ τοῖς Αἰγυπτίοις, καὶ τοῦ ἐκεῖ βασιλεύοντος ὄνειρά τινα ἐξηγήσας εὐστόχως, γίνεται παρ' αὐτῷ μέγας· ἦν δὲ τὰ ὄνειρα· Ἑπτὰ βόες λεπταὶ κατέφαγον τοσαύτας παχείας· καὶ Ἑπτὰ στάχυες λεπτοὶ κατέπιον ἑπτὰ ἐκλεκτούς· ἐδήλου δὲ τὰ ὄνειρα ἑπταετῆ εὐφορίαν πρῶτον, ἑπταετῆ λιμὸν μετὰ ταῦτα· ὅθεν ἐπιστάτης τῶν σίτων γενόμενος, συνήγαγε πολὺν σῖτον κατὰ τὰ ἔτη τῆς ἀφθονίας, καὶ δι' αὐτοῦ ἐπλήρου τοῦ λιμοῦ· διεδίδου δὲ τὸν σῖτον τοῖς Αἰγυπτίοις, κτώμενος τῷ βασιλεῖ τὴν γῆν αὐτῶν, καὶ κατεδουλώσατο τοῦτον τὸν τρόπον τοὺς Αἰγυπτίους. Γενέσ. μά. — 3. Ὁ μὲν γάρ.) Ἰωσὴφ δηλ. — 4. Τῷ φιλανθρώπῳ.) Τῷ τῆς φιλανθρωπίας εἴδει ὠνήσατο πᾶσαν τὴν Αἴγυπτον τῷ βασιλεῖ, διδοὺς σῖτον καὶ λαμβάνων τὴν γῆν αὐτῶν· οἱ δὲ, ἐδίδοσαν τῷ λιμῷ ταλαιπωρού-

ἦν, καὶ τῆς σιτοδείας ἐπίκουρος ἀπραγμάτευτος, πρὸς ἓν ὁρῶν τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον κτήσασθαι, καὶ τῶν ἐκεῖθεν τυχεῖν ἀγαθῶν διὰ τῆς ἐνταῦθα σιτομετρίας. Ταῦτα μετὰ τῆς[6] τοῦ λόγου τροφῆς καὶ τῆς τελεωτέρας εὐεργεσίας καὶ διαδόσεως τῆς ὄντως οὐρανίου καὶ ὑψηλῆς, εἴπερ ἄρτος ἀγγέλων[7] λόγος, ᾧ ψυχαὶ τρέφονται καὶ ποτίζονται, Θεὸν πεινῶσαι, καὶ ζητοῦσαι τροφὴν οὐ ῥέουσαν, οὐδ' ἀπιοῦσαν, ἀλλ' ἀεὶ μένουσαν, ἧς σιτοδότης ἦν ἐκεῖνος[8] καὶ μάλα πλούσιος, ὁ πενέστατος, ὧν ἴσμεν, καὶ ἀπορώτατος, οὐ λιμὸν ἄρτων,[9] οὐδὲ δίψαν ὕδατος ἐξιώμενος· λόγου δὲ πόθεν τοῦ ἀληθῶς ζωτικοῦ, καὶ τροφίμου, καὶ εἰς αὔξησιν ἄγοντος,[10] ἡλικίας πνευματικῆς τὸν καλῶς τρεφόμενον.

§ 47. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων, τί γὰρ δεῖ πάντα λέγοντα διατρίβειν, ἄρτι τοῦ φερωνύμου[2] τῆς εὐσεβείας μετατεθέντος, καὶ ταῖς ἐκείνου χερσὶν ἡδέως ἐναποψύξαντος, ἐπὶ τὸν ὑψηλὸν τῆς ἐπισκοπῆς θρόνον ἀνάγεται·[3] καὶ ἀμογητὶ μέν, οὐ μὴν δὲ ἄνευ βασκανίας καὶ πάλης τῶν τε τῆς πατρίδος προεδρευόντων, καὶ τῶν πονηροτάτων τῆς πόλεως ἐκείνοις συντεταγμένων. Πλὴν ἔδει νικῆσαι τὸ Πνεῦμα τὸ ἅγιον· καὶ μέντοι νικᾷ πολλῇ τῇ περιουσίᾳ· Κινεῖ γάρ[4] ἐκ τῆς ὑπερωρείας[5] τοὺς χρίσοντας ἄνδρας ἐπ' εὐσεβείᾳ γνωρίμους, καὶ ζηλωτάς, καὶ μετὰ τούτων τὸν νέον Ἀβραάμ, καὶ πατριάρχην ἡμέτερον, τὸν ἐμὸν πατέρα· περὶ ὅν τι καὶ συμβαίνει θαυμάσιον. Οὐ γὰρ τῷ πλήθει τῶν ἐτῶν μόνον ἐκλελοιπώς, ἀλλὰ καὶ νόσῳ τετρυχωμένος, καὶ πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς ὤν, κατατολμᾷ τῆς ὁδοῦ, βοηθήσων τῇ ψήφῳ, καὶ θαρσήσας τῷ πνεύματι, καί τι σύντομον φθέγξομαι, νεκρὸς ἐντεθεὶς ὡς τάφῳ τινὶ τῷ φορείῳ, νέος ἐπάνεισιν εὐσθενής· ἄνω βλέπων, ῥωσθεὶς ἐκ τῆς χειρὸς καὶ τῆς χρίσεως· οὐ πολὺ δὲ εἰπεῖν, ὅτι καὶ τῆς κεφαλῆς[6] τοῦ χρισθέντος.[7] Τοῦτο προσκείσθω τοῖς παλαιοῖς

---

μένοι. — 5. Ὁ δέ.) Μέγ. Βασίλ. — 6. Ταῦτα μετὰ τῆς.) Ταῦτα ἐποίει προστιθέμενος καὶ τὴν διὰ λόγου τροφήν· καὶ γὰρ καὶ ὁ Κύριος λέγει· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ· Ματθ. δ'. 4. — 7. Ἄρτος ἀγγέλων.) Φησὶ γὰρ ὁ Δαβίδ. Ψαλ. οζ'. 24. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος· τὸ μάννα οὕτω καλέσας· ὁ δὲ Κύριος τὸν λόγον· Ματθ. δ'. 4. ὡς τῶν ἀγγέλων λόγῳ τρεφομένων. — 8. Ἐκεῖνος.) Ὁ μέγ. Βασίλ. — 9. Οὐ λιμὸν ἄρτων.) Τοῦτο δὴ τὸ διὰ τοῦ προφήτου Ἀμμὼς λεγόμενον. κεφ. η, 11. — 10. Εἰς αὔξησιν ἄγοντος.) Ὡς φησὶ Παῦλος· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

§ 47. 2. Τοῦ φερωνύμου.) Ὁ Εὐσέβειος δηλ. ἐπίσκοπος Καισαρείας. — 3. Ἀνάγεται.) Ὁ μέγ. Βασίλ. διάδοχος Εὐσεβείου γενόμενος. — 4. Κινεῖ γάρ.) Τὸ Πνεῦμα τὸ ἅγιον. — 5. Ἐκ τῆς ὑπερωρείας.) Ὡς τὸν μέγαν Εὐσέβειον ἐπίσκοπον Σαμοσατέων. — 6. Ὅτι καὶ τῆς κεφαλῆς.) Ὅτι δηλ. ἐῤῥώθη καὶ ἐκ τῆς κεφαλῆς τοῦ χρισθέντος μεγ. Βασιλ. — 7. Χρισθέντος.) Τῇ χάριτι τοῦ ἁγίου Πνεύματος χρισθέν, τῇ τὰ ἀσθενῆ θεραπευούσῃ καὶ τὰ ἐλλείποντα ἀναπλη-

ΙΩΑΝΝΙΝΑ 2006

διηγήμασι,[8] ὅτι πόνος ὑγιείαν χαρίζεται, καὶ προθυμία νεκροὺς ἀνίστησι, καὶ πηδᾷ γῆρας χρισθὲν τῷ πνεύματι.

§ 48. Οὕτω δὲ τῆς προεδρίας ἀξιωθεὶς, ὡς τοὺς τοιούτους μὲν γεγονότας, τοιαύτης δὲ χάριτος τετυχηκότας, οὕτω δὲ ὑπειλημμένους εἰκὸς,[2] οὐ κατήσχυνεν οὐδενὶ[3] τῶν ἑξῆς ἢ τὴν ἑαυτοῦ φιλοσοφίαν, ἢ τὰς τῶν πεπιστευκότων ἐλπίδας. Ἀλλὰ τοσοῦτον ἑαυτὸν ὑπερβάλλων ἀεὶ, ὅσον πρὸ τούτου[4] τοὺς ἄλλους ἐδείκνυτο,[5] κάλλιστά τε καὶ φιλοσοφώτατα περὶ τούτων διανοούμενος. Ἡγεῖτο γὰρ ἰδιώτου μὲν ἀρετὴν εἶναι τὸ μὴ κακὸν εἶναι, ἤ τι καὶ ποσῶς[6] ἀγαθόν· ἄρχοντος δὲ καὶ προστάτου κακίαν,[7] καὶ μάλιστα τὴν τοιαύτην[8] ἀρχὴν, τὸ μὴ πολὺ τῶν πολλῶν προέχειν, μηδ᾽ ἀεὶ κρείττω φαίνεσθαι, μηδὲ συμμετρεῖν τῇ ἀξίᾳ, καὶ τῷ θρόνῳ τὴν ἀρετήν. Μόγις γὰρ[9] εἶναι τῷ ἄκρῳ, τοῦ μέσου κατατυγχάνειν, καὶ τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον. Μᾶλλον δὲ, ἵνα τι φιλοσοφήσω περὶ τούτων ἄμεινον, ὅπερ ἐπὶ τοῦ Σωτῆρος ἐγὼ θεωρῶ· οἶμαι δὲ καὶ τῶν σοφωτέρων ἕκαστος, ἡνίκα μεθ᾽ ἡμῶν ἐγένετο[10], μορφωθεὶς τὸ ὑπὲρ ἡμᾶς καὶ ἡμέτερον, τοῦτο κἀνταῦθα συμβεβηκέναι λογίζομαι. Ἐκεῖνός τε[11] γὰρ προέκοπτε, φησὶν, ὥσπερ ἡλικίᾳ, οὕτω δὴ καὶ σοφίᾳ καὶ χάριτι· οὐ τῷ ταῦτα λαμβάνειν αὔξησιν, τί γὰρ τοῦ ἀπ᾽ ἀρχῆς τελείου γένοιτ᾽ ἂν τελειότερον· ἀλλὰ τῷ κατὰ μικρὸν ταῦτα παραγυμνοῦσθαι καὶ παρεκφαίνεσθαι· τήν τε τοῦ ἀνδρὸς ἀρετὴν, οὐχὶ προσθήκην, ἀλλ᾽ ἐργασίαν, οἶμαι, μείζω τηνικαῦτα λαμβάνειν, ὕλῃ πλείονι τῇ ἐξουσίᾳ χρωμένην. Πρῶτον μὲν ἐκεῖνο πᾶσι ποιεῖ φανερὸν, ὡς οὐκ ἀνθρωπίνης χάριτος ἦν αὐτῷ ἔργον, ἀλλὰ Θεοῦ δῶρον τὸ δεδομένον· δηλώσει δὲ καὶ τὸ ἡμέτερον·[12] οἷα γάρ μοι φιλοσοφοῦντι περὶ τὸν καιρὸν ἐκεῖνον συνεφιλοσόφει.

---

ρούσῃ. — 8. Τοῖς παλαιοῖς διηγήμασι.) Παλαιαὶ εἰσὶ παροιμίαι· τὸ, Πόνος ὑγιείαν χαρίζεται· Προθυμία νεκροὺς ἀνίστησι· ταύταις οὖν προσκείσθω καὶ τὸ, Γῆρας πηδᾷ χρισθὲν τῷ πνεύματι.

§ 48. 2. Ὡς τοὺς τοιούτους μὲν γεγονότας . . . . εἰκός.) Ὡς ἐστὶν εἰκὸς ἀξιοῦσθαι τῆς προεδρίας τοὺς τοιούτους καὶ τλ. — 3. Οὐ κατήσχυνεν οὐδενί.) Αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς Ἀττικῶς· Οὐ κατήσχυνε τὴν ἑαυτοῦ φιλοσοφίαν, ἢ τοὺς πιστεύοντας ἐν οὐδενὶ τῶν ἀκολούθων· οὔτε δηλ. ἔργῳ οὔτε λόγῳ. — 4. Πρὸ τούτου.) Πρὸ τοῦ ἀξιωθῆναι τῆς προεδρίας. — 5. Ἐδείκνυτο.) Ἀλλὰ τοσοῦτον ἐδείκνυτο ὑπερβάλλων ἑαυτὸν ἀεὶ, ὅσον ἐδείκνυτο ὑπερβάλλων τοὺς ἄλλους πρὸ τοῦ ἀξιωθῆναι τῆς προεδρίας. — 6. Ἤ τι καὶ ποσῶς.) Ἢ γοῦν ὀλίγον ὁπωσοῦν εἶναι ἀγαθόν. — 7. Κακίαν.) Ἀπὸ κοινοῦ τὸ Ἡγεῖτο εἶναι ἰδίαν. — 8. Καὶ μάλιστα τὴν τοιαύτην.) Κατ᾽ ἔλλειψιν τῆς Κατά· οἷον. Καὶ μάλιστα ἄρχοντος κατὰ τοιαύτην ἀρχὴν, τὴν τῆς Ἐπισκοπῆς δηλ. — 9. Μόγις γάρ.) Ἡγεῖτο γὰρ μόλις ὅτι διὰ τῆς ἀκρότητος τῆς ἀρετῆς τοῦ προστάτου, ἔστι τοὺς ἄλλους τοῦ μέσου τῆς ἀρετῆς κατατυγχάν. καὶ τλ. — 10. Μεθ᾽ ἡμῶν ἐγένετο.) Ἐνανθρωπήσας δηλ. μορφωθεὶς τὸ ἡμέτερον μὲν, ὡς ὁμοιοπαθὴς ἡμῖν γενόμενος, ὑπὲρ ἡμᾶς δὲ, ὡς ἄνευ σπέρματος. — 11. Ἐκεῖνός τε.) Ὁ Σωτήρ. Λουκ. β΄. 40. — 12. Καὶ τὸ ἡμέτερον.) Ἡ πρὸς ἀλλήλους ἡμῶν φιλία.

§ 49. **Τῶν** γὰρ ἄλλων ἁπάντων οἰομένων καὶ προσδραμεῖσθαί με τῷ γεγονότι, καὶ περιχαρήσεσθαι, ὅπερ ἑτέρου καὶ παθεῖν [2] ἴσως ἦν, καὶ συνδιανεμεῖσθαι τὴν ἀρχὴν μᾶλλον, ἢ παρασυνδυναστεύειν, καὶ τῇ φιλίᾳ τούτῳ τεκμαιρομένων,[3] ἐπειδὴ τὸ φορτικὸν φεύγων ἐγώ, καὶ γὰρ ἐν ἅπασιν, εἴπερ ἄλλος τις,[4] καὶ ἅμα τοῦ καιροῦ τὸ ἐπίφθονον, ἄλλως τε καὶ τῶν κατ᾽ αὐτὸν ὠδινόντων ἔτι καὶ ταρασσομένων, οἴκοι κατέμεινα, βίᾳ χαλινώσας τὸν πόθον· μέμφεται μέν, συγγινώσκει δέ. **Καὶ** μετὰ τοῦτο ἐπιστάντα μέν, τὴν δὲ τῆς καθέδρας τιμὴν οὐ δεξάμενον τῆς αὐτῆς ἕνεκεν[5] αἰτίας, οὐδὲ τὴν τῶν πρεσβυτέρων προτίμησιν, οὔτε ἐμέμψατο, καὶ προσεπῄνεσεν, εὖ ποιῶν, τύφον κατηγορηθῆναι μᾶλλον ὑπ᾽ ὀλίγων ἑλόμενος τῶν ταύτην ἀγνοησάντων τὴν οἰκονομίαν, ἢ τι πρᾶξαι τῷ λόγῳ καὶ τοῖς αὐτοῦ βουλεύμασιν ἐναντίον. **Καί** τοι πῶς ἂν μᾶλλον ἔδειξεν ἄνθρωπος πάσης θωπείας καὶ κολακείας κρείττω τὴν ψυχὴν ἔχων, καὶ πρὸς ἓν μόνον βλέπων τὸν τοῦ καλοῦ νόμον; ἢ περὶ ἡμῶν[6] οὕτω διανοηθείς, οὓς ἐν πρώτοις τῶν ἑαυτοῦ φίλων καὶ συνήθων ἐγνώρισεν. **Ἔπειτα** τὸ στασιάζον[7] πρὸς ἑαυτὸν μαλάσσει καὶ θεραπεύει λόγοις ἰατρικῆς μεγαλόφρονος· οὐ γὰρ θωπευτικῶς, οὐδὲ ἀνελευθέρως τοῦτο ποιεῖ, ἀλλὰ καὶ λίαν νεανικῶς καὶ μεγαλοπρεπῶς· ὡς ἄν τις[8] οὐ τὸ παρὸν σκοπῶν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν εὐπείθειαν οἰκονομῶν. **Ὁρῶν** γὰρ τὸ μὲν ἁπαλὸν ἔκλυτον καὶ μαλακίζον, τὸ δὲ αὐστηρὸν τραχῦνον καὶ ἀπαυθαδιάζον, ἀμφοτέροις βοηθεῖ δι᾽ ἀλλήλων· ἐπιεικίᾳ μὲν τὸ ἀντιτυπές, στερρότητι δὲ τὸ ἁπαλὸν κερασάμενος· ὀλίγα μὲν λόγου προσδεηθείς, ἔργῳ δὲ τὰ πλείω δυνηθεὶς πρὸς τὴν θεραπείαν, οὐ τέχνῃ δουλούμενος, ἀλλ᾽ εὐνοίᾳ σφετεριζόμενος· οὐ δυναστείᾳ προσχρώμενος, ἀλλὰ τῷ δύνασθαι [9] μέν, φείδεσθαι δέ, προσαγόμενος. **Τὸ** μέγιστον[10] τὸ πάντας ἡττᾶσθαι[11] τῆς αὐτοῦ διανοίας, καὶ ἀπρόσιτον εἰδέναι τὴν ἀρετήν· καὶ μίαν

---

**§ 49. 2. Καὶ Παθεῖν.)** Ὁ **Καὶ** ἐνταῦθα παρέλκει, ἔμφασιν μόνην τινὰ δηλῶν, καὶ πλέον οὔ. — **3. Καὶ τῇ φιλίᾳ τούτῳ ... τεκμαιρομένων.).** Ὁ **Καὶ** συνδέει τό, οἰομένων, καὶ τεκμαιρομένων. — **4. Εἴπερ ἄλλος τις.)** Ἐγὼ φεύγω ἐν ἅπασι τὸ φορτικὸν ὑπὲρ πάντα ἄλλον. — **5. Τῆς αὐτῆς ἕνεκεν.)** Ἵνα μὴ δηλ. δόξω προτιμηθείς, ὡς φίλος. — **6. Ἢ περὶ ἡμῶν.)** Λυτικὸς δηλ. Οὐκ ἄλλως ἢ οὕτω διανοηθεὶς περὶ ἡμῶν. — **7. Τὸ στασιάζον.)** Τὴν κατ᾽ αὐτοῦ φατρίαν δηλ. — **8. Ὡς ἄν τις.)** ποιήσειε δηλ. — **9. Ἀλλὰ τῷ δύνασθαι.)** Ἀλλὰ προσαγόμενος τούτῳ, ὅτι δύναται μὲν δυναστεύειν αὐτούς, φείδεται δὲ τούτῳ χρῆσθαι περὶ αὐτῶν. — **10. Τὸ μέγιστον.)** Τὸ δὲ μέγιστον πάντων ἐστίν, ὅτι ἡττῶντο πάντες τῆς αὐτοῦ διανοίας, καὶ ὅτι ᾔδεσαν αὐτὸν ἀπρόσιτον ὄντα κατὰ τὴν ἀρετήν. — **11. Τὸ πάντας ἡττᾶσθαι.)** Εἴλειπται δὲ τοῦτο ἐκ τοῦ Ἰσοκράτους πρὸς Νικοκλέα λέγοντος. »Ἀρχικὸς εἶναι βούλου, μὴ »χαλεπότητι, μηδὲ τῷ σφόδρα κολά»ζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς »σῆς διανοίας καὶ ἀρετῆς ὡς ἀπρο»σίτου.«

μὲν ἑαυτοῖς σωτηρίαν ἡγεῖσθαι τὸ μετ' ἐκείνου τε καὶ ὑπ' ἐκείνῳ τετάχθαι· ἕνα δὲ κίνδυνον τὸ προσκρούειν ἐκείνῳ, καὶ ἀλλοτρίωσιν ἀπὸ Θεοῦ νομίζειν τὴν ἀπ' ἐκείνου διάστασιν. Οὕτως ἑκόντες ὑπεχώρησαν καὶ ἡττήθησαν, καὶ ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν, ἄλλος ἄλλον εἰς ἀπολογίαν προφθάνοντες, καὶ τὸ μέτρον τῆς ἀπεχθείας εἰς μέτρον μετενεγκόντες εὐνοίας, καὶ τῆς εἰς ἀρετὴν ἐπιδόσεως, ἣν δὴ μόνην ἀπολογίαν ἰσχυρωτάτην εὕρισκον. Πλὴν εἴτις διὰ κακίαν ἀνίατον ἠμελήθη καὶ παρεῤῥίφθη, ἵν' αὐτὸς ἐν ἑαυτῷ συντριβῇ καὶ καταναλωθῇ, καθάπερ ἰὸς σιδήρῳ συνδαπανώμενος.

§ 50. Ἐπεὶ δὲ τὰ οἴκοι κατὰ νοῦν εἶχεν αὐτῷ,[2] καὶ ὡς οὐκ ἄν τις[3] ᾠήθη, τῶν ἀπίστων, κἀκεῖνον ἠγνοηκότων, περινοεῖ τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον. Τῶν γὰρ ἄλλων ἁπάντων τὸ ἐν ποσὶ μόνον ὁρώντων, καὶ τὸ καθ' αὐτοὺς ὅπως ἀσφαλῶς ἕξει λογιζομένων, εἴπερ τοῦτο ἀσφαλές, παραιτέρω δ' οὐ προσιόντων, οὐδέ τι μέγα καὶ νεανικὸν ἐννοῆσαι ἢ καταπράξεσθαι δυναμένων· καίτοι τἄλλα μέτριος ὢν, ἐν τούτῳ οὐ μετριάζει· ἀλλ' ὑψοῦ τὴν κεφαλὴν διάρας, καὶ κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα περιαγαγὼν, πᾶσαν εἴσω ποιεῖται τὴν οἰκουμένην, ὅσην ὁ σωτήριος[4] λόγος ἐπέδραμεν. Ὁρῶν δὲ τὸν μέγαν τοῦ Θεοῦ κλῆρον, καὶ τοῖς αὐτοῦ λόγοις καὶ νόμοις καὶ πάθεσι περιποιηθέντα, τὸ ἅγιον ἔθνος,[5] τὸ βασίλειον ἱεράτευμα κακῶς διακείμενον, εἴς τε μυρίας δόξας[6] καὶ πλάνας διεσπασμένον, καὶ τὴν ἐξ Αἰγύπτου μετηρμένην[7] καὶ μεταπεφυτευμένην ἄμπελον ἐκ τῆς ἀθέου καὶ σκοτινῆς ἀγνοίας[8] εἰς κάλλος τε καὶ μέγεθος ἄπειρον προελθοῦσαν, ὡς καλύψαι πᾶσαν τὴν γῆν, καὶ ὀρῶν καὶ κέδρων ὑπερεκτείνεσθαι· ταύτην δὲ[9] πονηρῷ καὶ ἀγρίῳ σὺν τῷ διαβόλῳ λελυμασμένην οὐκ αὔταρκες ὑπολαμβάνει[10] θρηνεῖν ἡσυχῇ τὸ πάθος καὶ πρὸς Θεὸν αἴρειν μόνον τὰς χεῖρας, καὶ παρ' ἐκείνου τῶν κατεχόντων κακῶν λύσειν ζητεῖν· αὐτὸς δὲ[11] καθεύδειν· ἀλλά τι καὶ βοηθεῖν, καὶ παρ' ἑαυτοῦ συνεισφέρειν ᾤετο δεῖν. Τί γὰρ εἶναι τῆς συμφορᾶς ταύτης ἀνιαρώτερον; ὑπὲρ δὲ τοῦ[12] μᾶλλον χρῆναι σπουδάζειν τὸν ἄνω

---

§ 50. 2. Κατὰ νοῦν εἶχεν αὐτῷ.) Κατὰ τὴν αὐτοῦ δηλ. βούλησιν· ὅπερ ἐστίν· ἐπειδὴ οἱ ἐν τῇ παροικίᾳ αὐτοῦ Καισαρείᾳ ὁμονοήσαντες διέκειντο πρὸς αὐτὸν κατὰ τὴν αὐτοῦ βούλησιν. — 3. Καὶ ὡς οὐκ ἄν τις.) Καὶ οὕτως εὖ εἶχον, ὡς οὐδεὶς ἂν ἐπίστευσε τῶν ἀπίστων, καὶ ὅσοι ἠγνόουν τὸν μέγ. Βασίλ. — 4. Ὅσην ὁ σωτήριος.) Καθ' ἣν δηλ. ἐκηρύχθη τὸ Εὐαγγέλιον. — 5. Τὸ ἅγιον ἔθνος.) Πέτρος. Α'. β'. 9. — 6. Μυρίας δόξας.) Αἱρέσεων δηλ. — 7. Μετηρμένην.) Ψαλμ. π'. 8. — 8. Ἀγνοίας.) Τῆς εἰδωλολατρείας· ἠγνόουν γὰρ τὸν Θεὸν, καὶ ἐπίστευον εἰδώλοις. — 9. Ταύτην δέ.) Τὴν ἄμπελον ὁρῶν, ὁ μέγ. Βασίλ. — 10. Ὑπολαμβάνει.) Καθάπερ ὁ Δαβὶδ αὐτόθι. π'. 14. — 11. Αὐτὸς δέ.) Ἡ Ὀνομαστικὴ διὰ τὴν ταυτοπροσωπίαν. — 12. Ὑπὲρ δὲ τοῦ.)

ΙΩΑΝΝΙΝΑ 2006

βλέποντα; Ἑνὸς μὲν γὰρ εὖ πράττοντος ἢ κακῶς, οὐδὲν τῷ κοινῷ τούτῳ ἐπισημαίνειν·[13] τοῦ κοινοῦ δὲ οὕτως ἔχοντος, καὶ τὸν καθ' ἕκαστον ὁμοίως ἔχειν· πᾶσαν εἶναι ἀνάγκην. Ταῦτ' οὖν ἐννοῶν ἐκεῖνος καὶ σκοπῶν, ὁ τοῦ κοινοῦ κηδεμὼν καὶ προστάτης, ἐπειδὴ σὴς ὀστέων[14] καρδία αἰσθητική, ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ, καὶ τὸ μὲν ἀνάλγητον εὔθυμον, τὸ δὲ συμπαθὲς λυπηρόν, καὶ τῆξις καρδίας ἔμμονος λογισμός, διὰ τοῦτο ἐσφάδαζεν, ἠνιᾶτο, κατετιτρώσκετο, ἔπασχε τὸ Ἰωνᾶ,[15] τὸ Δαβίδ,[16] ἀπελέγετο τὴν ψυχήν, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις, προσεδαπάνα τὸ λειπόμενον τῶν σαρκῶν ταῖς φροντίσιν, ἕως εὕρῃ τοῦ κακοῦ λύσιν. Ἐπιζητεῖ θείαν βοήθειαν, ἢ ἀνθρωπίνην, ἥτις στήσει τὸν κοινὸν ἐμπρησμὸν καὶ τὴν ἐπέχουσαν ἡμᾶς σκοτόμαιναν.

§ 51. Ἓν μὲν οὖν ἐκεῖνο ἐπινοεῖ καὶ λίαν σωτήριον, συναγαγὼν ἑαυτόν, ὡς οἷόν τε ἦν, καὶ συγκλείσας τῷ πνεύματι, καὶ πάντας μὲν ἀνθρωπίνους λογισμοὺς κινήσας, πᾶν δὲ τῶν γραφῶν βάθος ἀναλεξάμενος, λογογραφεῖ τὴν εὐσέβειαν.[2] Καὶ ἀντιθέτοις πάλαις[3] καὶ μάχαις, τὸ πολὺ τῶν αἱρετικῶν ἀποκρούεται θράσος· τοὺς μὲν καὶ εἰς χεῖρας ἰόντας[4] ἀγχεμάχοις ὅπλοις τοῖς ἀπὸ γλώσσης καταστρεφόμενος· τοὺς δὲ πόῤῥωθεν[5] βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος, οὐδὲν ἀτιμωτέροις[6] τῶν ἐν ταῖς πλαξὶ χαραγμάτων. Οὐδὲ ἑνὶ[7] τῆς Ἰουδαίας ἔθνει καὶ μικρῷ τούτῳ νομοθετοῦντος περὶ βρωμάτων καὶ πομάτων, καὶ προσκαίρων θυσιῶν, καὶ σαρκὸς καθαρσίων, ἀλλὰ καὶ παντὶ γένει καὶ μέρει τῆς οἰκουμένης περὶ τοῦ λόγου τῆς ἀληθείας, ἐξ οὗ καὶ τὸ σώζεσθαι περιγίνεται. Δεύτερον δέ,[8] (καὶ γὰρ ὁμοίως ἀτελὲς ἄλογος

---

Ἄρθρον ἀντὶ Ἐρωτηματικοῦ· ἤτοι ὑπὲρ δὲ τίνος; — 13. Ἐπισημαίνειν.) Οὐδὲν σημεῖον γνώρισμα ποιεῖν· ἤτοι οὐδὲν βλάπτειν· ἀπὸ κοινοῦ δὲ τό, ὑπολαμβάνει. — 14. Σὴς ὀστέων.) Παροιμ. κέ. 20. — 15. Τὸ Ἰωνᾶ.) Πάθος· ξηρανθείσης γὰρ τῆς κολοκύνθης, ὁ Ἥλιος οὕτω τὸν Ἰωνᾶν ἔκαυσεν, ὥστε ὠλιγοψύχησε, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε· καλόν μοι ἀποθανεῖν με ἢ ζῆν· Ἰων. δ'. 8. — 16. Τὸ Δαβίδ.) Ψαλμ. ρλϐ'. 4.

§ 51. 2. Λογογραφεῖ τὴν εὐσέβειαν.) Γραφῇ δηλ. παραδίδωσι τὸ εὐσεβὲς δόγμα. — 3. Ἀντιθέτοις πάλαις.) Συγγράμμασι δηλ. ἀντιῤῥητικοῖς. — 4. Εἰς χεῖρας ἰόντας.) Ὅσοι δηλ. κατὰ πρόσωπον διελέγοντο αὐτῷ· ἀπὸ μεταφορᾶς τῶν στρατιωτῶν τῶν ξίφεσι, καὶ λόγχαις μαχομένων. — 5. Τοὺς δὲ πόῤῥωθεν.) Ὅσοι δηλ. διὰ συγγραμμάτων μακρόθεν ἐπολέμουν, καθάπερ ὁ Εὐνόμιος· Καὶ τοῦτο ἐκ μεταφορᾶς τῶν μαχομένων. — 6. Οὐδὲν ἀτιμοτέροις.) Κατ' οὐδὲν δηλ. τὰ τοξεύματα ταῦτα τοῦ μεγ. Βασιλ. εἴτ' οὖν συγγράμματα οὐκ ἦσαν ἀτιμότερα τῶν καὶ τλ. — 7. Οὐδὲ ἑνί.) Οὐδὲ οὖσι τοῖς τοξεύμασι τούτοις εἴτ' οὖν συγγράμμασιν ἀνδρὸς νομοθετοῦντος ἑνὶ ἔθνει τῆς Ἰουδαίας καὶ τούτῳ μικρῷ· καθάπερ τὰ Μωϋσέως περὶ καθαρῶν καὶ ἀκαθάρτων βρωμάτων καὶ πομάτων καὶ προσκαίρων θυσιῶν, καὶ σαρκὸς καθαρσίων, ἀλλ' οὖσιν ἀνδρὸς νομοθετοῦντος καὶ παντὶ γένει ἀνθρώπων καὶ παντὶ μέρει τῆς οἰκ. καὶ τλ. — 8. Δεύτερον δέ.) Ἐπινοεῖ· καὶ ἔστι τὸ Προστίθει

πρᾶξις, καὶ λόγος ἄπρακτος·) προσετίθει τῷ λόγῳ καὶ τὴν ἐκ τοῦ πράττειν ἐπικουρίαν τοῖς μὲν ἐπιδημῶν, πρὸς δὲ τοὺς πρεσβεύων· τοὺς δὲ καλῶν,[9] νουθετῶν, ἐλέγχων, ἐπιτιμῶν, ἀπειλῶν, ὀνειδίζων, προπολεμῶν[10] ἐθνῶν, πόλεων, τῶν καθ᾽ ἕκαστον, πᾶν εἶδος ἐπινοῶν σωτηρίας· πανταχόθεν ἰώμενος, ὁ Βεσελεὴλ[11] ἐκεῖνος ὁ τῆς θείας ἀρχιτέκτων σκηνῆς, πάσῃ πρὸς τὸ ἔργον ὕλῃ καὶ τέχνῃ χρώμενος, καὶ πάντα πλέκων εἰς κάλλους ἑνὸς περιουσίαν καὶ ἁρμονίαν· Τί τἄλλα χρὴ λέγειν;

§ 52. Ἀλλ᾽ ἧκεν ἡμῖν αὖθις ὁ χριστομάχος βασιλεὺς[2], καὶ τῆς πίστεως τύραννος, μετὰ πλείονος τῆς ἀσεβείας καὶ θερμοτέρας τῆς παρατάξεως, ὡς πρὸς ἀνταγωνιστὴν ἰσχυρότερον ὄντος αὐτῷ τοῦ λόγου κατὰ τὸ ἀκάθαρτον[3] ἐκεῖνο πνεῦμα, καὶ πονηρὸν, ὃ τοῦ ἀνθρώπου λυθὲν, καὶ περιπλανηθὲν, πρὸς τὸν αὐτὸν ἀναστρέφει μετὰ πλειόνων πνευμάτων, εἰσοικισθησόμενον· ὥσπερ ἐν τοῖς Εὐαγγελίοις ἠκούσαμεν. Τούτου[4] γίνεται μαθητὴς ἐκεῖνος ὁμοῦ τε τὴν προτέραν ἧτταν[5] ἀνακαλεσάμενος, καὶ προσθήσων τι τοῖς πρώτοις παλαίσμασι· δεινὸν γάρ[6] εἶναι καὶ σχέτλιον πολλῶν μὲν ἐθνῶν ἐπάρχοντα, πολλῆς δὲ δόξης ἠξιωμένον, πάντας δὲ τοὺς κύκλῳ καταστρεψάμενον τῷ κράτει τῆς ἀσεβείας καὶ χειρωσάμενον πᾶν τὸ προστυχὸν, ἑνὸς ἀνδρὸς καὶ μιᾶς πόλεως ἥττων ὀφθῆναι, καὶ γέλωτα ὄφλειν οὐ τοῖς ἄγουσι[7] μόνον αὐτὸν προστάταις τῆς ἀθεΐας, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις, ὡς ὑπελάμβανε. Τὸν μὲν δὴ Περσῶν[8] βασιλέα φασὶν, ἐπειδή ποτε κατὰ τῆς Ἑλλάδος

---

οἷον ἐπεξήγησις. — 9. Τοὺς δὲ καλῶν.) Παῦλ. πρὸς Τιμ. β΄. δ΄. 2. — 10. Προπολεμῶν.) Ἀντὶ πολεμῶν ὑπὲρ ἐθνῶν, πόλεων, καὶ ὑπὲρ ἑκάστου κατ᾽ ἰδίαν· ἡ δέ τοι Πρὸ, ἐν τοῖς τοιούτοις οὐ μόνον βοήθειαν, ἀλλὰ καὶ τὸ ἔμπροσθεν· τὸ γὰρ προπολεμῶ τινος, οὐδὲν ἄλλ᾽ ἢ τὸ προϊστάμενος τινὸς εἴτ᾽ οὖν ἔμπροσθεν ἱστάμενος πολεμῶ. — 11. Ὁ Βεσελεήλ.) Ὁ γὰρ Βεσελεὴλ, ἐμπλησθεὶς παρὰ Θεοῦ πνεύματος θείου, σοφίας, καὶ ἐπιστήμης, χρυσῷ, ἀργυρῷ καὶ χαλκῷ, καὶ ὑακίνθῳ, καὶ πάσῃ ὕλῃ χρησάμενος, ἐποίησε τὴν σκηνὴν τοῦ μαρτυρίου, τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τὸ ἱλαστήριον, καὶ τὴν διασκευὴν τῆς σκηνῆς. Ἔξοδ. λά. λϛ΄. ἐνταῦθα δὲ ἐννοεῖ τὸν μέγ. Βασίλ. ἀρχιτέκτονα τῆς θείας σκηνῆς τῆς ἱερᾶς Ἐκκλησίας.

§ 52. 2. Ὁ χριστομάχος βασιλεύς.) Οὐάλης, ὁ τοῦ Ἀρείου τὸ δόγμα δεξάμενος, καὶ διώκτης γενόμενος μέγας τῶν ὀρθοδόξων. — 3. Κατὰ τὸ ἀκάθαρτον.) Λουκ. ιά. 24. ἔνθα λέγει ὁ Χριστός· »Ὅταν τὸ ἀκάθαρτον πνεῦμα »ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται »δι᾽ ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, »καὶ μὴ εὑρίσκον λέγει· ὑποστρέψω εἰς »τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον· καὶ ἐλ»θὸν εὑρίσκει σεσαρωμένον καὶ κεκο»σμημένον· τότε πορεύεται καὶ παρα»λαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονη»ρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοι»κεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ »ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώ»των« καὶ Ματθ. ιβ΄. 43. . . . 45. — 4. Τούτου.) Τοῦ πονηροῦ δαίμονος. — 5. Τὴν προτέραν ἧτταν.) Περὶ ἧς ἐν λθ΄. . . . μγ΄. — 6. Δεινὸν γάρ.) Ἐννοεῖται Ἔλεγεν· σύνηθες δὲ τοῦτο διὰ τὸν Γάρ. — 7. Οὐ τοῖς ἄγουσι.) Οὐ μόνον τοῖς προστάταις τῆς ἀθεΐας, οἵτινες παρεκίνουν αὐτὸν εἰς τοῦτο. — 8. Τὸν μὲν δὴ Περσῶν.) Ξέρξης ὁ βασιλεὺς τῶν Περσῶν, κατὰ τῆς Ἑλλάδος, ὡς καταδουλωσόμενος, αὐτὴν ἐκστρατεύσας, τόν τε Ἑλλήσποντον πεζῇ διαβῇ γεφυρώσας καὶ τὸ στενὸν τοῦ Ἄθω διορύξας ναυσιπόρον εἰργάσατο, καὶ οὕτω φοβερὸς ἐλθὼν εἰς τὴν Ἑλλάδα,

ἐστράτευε, πᾶν μὲν γένος ἀνθρώπων ἐπ' αὐτοὺς ἐλαύνων, παντὶ δὲ ζέων θυμῷ καὶ φρονήματι, οὐ ταύτῃ μόνον ἐπαίρεσθαι, καὶ ἄμετρον εἶναι ταῖς ἀπειλαῖς· ἀλλ' ὡς ἂν μᾶλλον αὐτοὺς καταπλήξειε, φοβερὸν ἑαυτὸν ποιεῖν καὶ ταῖς κατὰ τῶν στοιχείων καινοτομίαις. Γῆ τις ἠκούετο ξένη, καὶ θάλασσα τοῦ νέου δημιουργοῦ, καὶ στρατὸς ἤπειρον πλέων, καὶ πεζεύων πέλαγος· νῆσοί τε ἁρπαζόμεναι, καὶ θάλασσα μαστιζομένη,[9] καὶ ὅσα τῆς ἐμπλήκτου σαφῶς ἦν στρατιᾶς καὶ στρατηγίας, κατάπληξις μὲν τοῖς ἀγενεστέροις, γέλως δὲ τοῖς ἀνδρικωτέροις καὶ στεῤῥοτέροις τὸ φρόνημα. Ὁ δὲ[10] τοιούτου μὲν οὐδενὸς ἐδεῖτο καθ' ἡμῶν στρατεύων· ὁ δὲ ἦν ἐκείνου χεῖρον καὶ βλαβερώτερον, τοῦτο ποιῶν καὶ λέγων ἠκούετο. Ἔθετο εἰς οὐρανὸν[11] τὸ στόμα αὐτοῦ, βλασφημίαν λαλῶν εἰς τὸ ὕψος, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς· καλῶς γὰρ αὐτὸν ὁ θεῖος Δαβὶδ πρὸ ἡμῶν ἐστηλίτευσε τὸν οὐρανὸν εἰς γῆν κλίναντα,[12] καὶ μετὰ τῆς κτίσεως ἀριθμοῦντα φύσιν τὴν ὑπερκόσμιον, ἣν οὐδὲ χωρεῖν ἡ κτίσις δύναται, κἂν μεθ' ἡμῶν τι γένηται λόγῳ φιλανθρωπίας, ἵν' ἡμᾶς ἑλκύσῃ πρὸς ἑαυτὴν χαμαὶ κειμένους.

§ 53. Καὶ δὴ λαμπρὰ μὲν αὐτοῦ τὰ πρῶτα[2] νεανιεύματα, λαμπρότερα δὲ τὰ τελευταῖα καθ' ἡμῶν ἀγωνίσματα. Τίνα δὴ λέγω τὰ πρῶτα; ἐξορίαι, φυγαί, δημεύσεις, ἐπιβουλαὶ φανεραί τε καὶ ἀφανεῖς· τὸ πείθειν, οὗ καιρὸς ἦν, τὸ βιάζεσθαι, τοῦ πείθειν οὐκ ὄντος. Οἱ μὲν ἐξωθούμενοι[3] τῶν Ἐκκλησιῶν, ὅσοι τοῦ ὀρθοῦ λόγου, καὶ τοῦ καθ' ἡμᾶς· οἱ δὲ εἰσαγόμενοι, ὅσοι τῆς βασιλικῆς ἀπωλείας ἐτύγχανον, οἱ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτοῦντες,[4] οἱ γράφοντες τὰ τούτων ἔτι χαλεπώτερα,[5] πρεσβυτέρων ἐμπρησμοὶ[6] θαλάττιοι, στρατηγοὶ δυσεβεῖς, οὐ Περσῶν κρατοῦντες,

ναυμαχήσας ἐν Σαλαμῖνι, καὶ ἡττηθεὶς, ἐπανῆλθεν εἰς τὰ οἰκεῖα κατησχημένος. — 9. Μαστιζομένη.) Γεφυρώσας γὰρ τὸν Ἑλλήσποντον, καὶ τῆς γεφύρας λυθείσης ὑπὸ τρικυμίας, προσέταξεν ἁλύσεσι τύπτειν τὴν θάλασσαν ὁ Ξέρξης. — 10. Ὁ δέ.) Οὐάλης. — 11. Ἔθετο εἰς οὐρανόν.) Ψαλμ. ογ'. 8. 9. — 12. Αὐτὸν . . . κλίναντα.) Τὸν Οὐάλεντα τὸν Ὕψιστον Θεὸν ταπεινώσαντα, κτίσμα δηλ. λέγων τὸν Υἱόν.

§ 53. 2. Τὰ πρῶτα.) Τὰ ἐν Ἀλεξανδρείᾳ καὶ ἀλλαχοῦ. — 3. Οἱ μὲν ἐξωθούμενοι.) Ὡς ἐκ τῆς Ἀντιοχίας ὁ μέγας Μελέτιος, ἐκ Σαμοσάτων ὁ θεῖος Εὐσέβειος, ἐκ Λαοδικίας Πελάγιος ὁ θαυμάσιος· ἐξ Ἐδέσης ὁ ἅγιος Βάρσης· καὶ ἀλλαχόθεν ἄλλοι συχνοί. — 4. Οἱ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτοῦντες.) Ἵν' οἱ εὐσεβεῖς ὑπογραφῶσιν εἰς τὴν ἀσέβειαν. Βασιλικοὶ γάρ τινες περιήρχοντο πάντας ἀπαιτοῦντες ὑπογράψασθαι ἐν τῷ τόμῳ τῶν Ἀρειανικῶν δογμάτων· Νικήτ. — 5. Τὰ τούτων ἔτι χαλεπότερα.) Τὰς κατὰ τῶν εὐσεβῶν προσταγὰς δηλ. — 6. Ἐμπρησμοί.) Ὀγδοήκοντα γὰρ πρεσβυτέρους πεμφθέντας παρὰ τῶν ὀρθοδόξων εἰς Νικομήδειαν ὑπὲρ εὐσεβείας πρεσβεύσοντας, ἀπὸ Κωνσταντινουπόλεως οἱ περὶ Οὐάλεντα εἰς σκάφος ἐμβιβάσαντες, ἀφῆκαν ἀνερμάτιστον εἰς τὸ πέλαγος, πῦρ ἐπαφέντες τῷ σκάφει, καὶ οὕτως οἱ εὐσεβεῖς ἐκεῖνοι οἰκτρότατα ἐχρήσαντο θα-

οὐ Σκύθας χειρούμενοι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος ἀνακαθαίροντες, ἀλλ' Ἐκκλησίαις[7] ἐπιστρατεύοντες, καὶ θυσιαστηρίων κατορχούμενοι[8] καὶ τὰς ἀναμίκτους θυσίας ἀνθρώπων καὶ θυσιῶν αἵματι χραίνοντες, καὶ παρθένων αἰδῶ καθυβρίζοντες.[9] Ἵνα τί γένηται; Ἵν' ἐξωθῇ μὲν Ἰακὼβ ὁ πατριάρχης, ἀντισαχθῇ Ἡσαῦ[10] ὁ μεμισημένος καὶ πρὸ γενέσεως. Ταῦτα[11] τῶν πρώτων αὐτοῦ νεανιευμάτων τὰ διηγήματα, ἃ καὶ μέχρι τοῦ νῦν κινεῖ τοῖς πολλοῖς δάκρυον, εἰς μνήμην ἰόντα καὶ ἀκουόμενα.

§ 54. Ἐπειδὴ δὲ πάντα διεξελθὼν ἐπὶ τὴν ἄσειστον καὶ ἀνεπειρέαστον τήνδε[2] τῶν Ἐκκλησιῶν μητέρα, ὡς δουλωσόμενος ὥρμησε, καὶ τὸν λειπόμενον[3] ἔτι μόνον ζωτικὸν σπινθῆρα τῆς ἀληθείας, τότε πρῶτον ᾔσθετο κακῶς βουλευσάμενος. Ὡς γὰρ βέλος ἰσχυροτέρῳ προσπεσὸν, ἀπεκρούσθη· καὶ ὡς κάλως[4] ῥαγεὶς, ὑπεχώρησε. Τοιούτῳ τῷ προστάτῃ τῆς Ἐκκλησίας ἐνέτυχε, καὶ τοσούτῳ προβόλῳ[5] περιῤῥαγεὶς διελύθη.

§ 55. Τὰ μὲν οὖν ἄλλα λεγόντων καὶ ἱστορούντων τῶν τότε πεπειραμένων ἔστιν ἀκούειν. Ἱστορεῖ δὲ οὐδεὶς ὅστις οὐ τῶν ἁπάντων,[2] ἀλλὰ τοσοῦτοι θαυμάζουσιν, ὅσοι τοὺς τότε ἀγῶνας[3] γνωρίζουσι, τὰς προσβολὰς, τὰς ὑποσχέσεις, τὰς ἀπειλὰς, τοὺς

---

νάτῳ. Νικήτ. Βασιλ. Σχολιασταί. — 7. Ἀλλ' Ἐκκλησίαις.) Ἡγεῖτο δὲ τοῦ στρατεύματος Σεβαστιανὸς Μανιχαῖος· οὗτος ἐν Ἀλεξανδρείᾳ ὁρμήσας ἐν μιᾷ κυριακῇ ἡμέρᾳ μετὰ πολλῆς δυνάμεως, καὶ πυρᾶς ἀφθείσης, παρθένους γυμνὰς εἰς πῦρ ἐνέβαλε, μὴ ὁμολογούσας τὸ τοῦ Ἀρείου δόγμα· καὶ τεσσαράκοντα ἄνδρας σκληρῶς ᾐκίσατο, ὥστε τούτων τοὺς μὲν ἀποθανεῖν, τοὺς δὲ εἰς ἰατροὺς ἀχθῆναι, Ἀθανάσιον, καὶ Ἀρειανὸν Γεώργιον. — 8. Κατορχούμενοι.) Νέος ἀσελγὴς θηλυμόρφῳ τῷ σχήματι ἀσέμνως ὠρχεῖτο ἐπ' αὐτοῦ τοῦ ἁγίου θυσιαστηρίου. Νικήτ. — 9. Παρθένων . . . καθυβρίζοντες.) Τὰς γὰρ ἐσθῆτας διαῤῥηγνῦντες, καὶ ὡς ἡ φύσις ἔχει γυμνὰς καταστήσαντες, πᾶσαν τὴν πόλιν θριαμβεύοντες, ἠτίμαζον τὴν γύμνωσιν αὐτῶν, τινὰς δὲ αἳ καὶ φθορὰν τοῦ σώματος ὑπέστησαν· καὶ ῥοπάλοις κατὰ κεφαλῆς τυπτόμεναι ἀφανεῖς ἐγίγνοντο, οὐκ ἐπιτρεπομένων τῶν σωμάτων οὐδὲ τῇ κηδείᾳ παραδίδοσθαι. — 10. Ἰακὼβ ὁ Πατριάρχης. . . Ἡσαῦ.) Ἰακὼβ μὲν λέγει ἐνταῦθα Πέτρον τὸν διάδοχον Ἀθανασίου τοῦ πενταθλου, Ἡσαῦ δὲ τὸν Ἀρειανὸν Λούκιον. Νικήτας δὲ Ἰακὼβ λέγει ἐννοεῖν αὐτὸν τὸν μέγαν Ἀθανάσιον, Ἡσαῦ δὲ Γεώργιον τὸν Ἀρειανόν· Βασίλειος δέ τις σχολιαστὴς, Ἰακὼβ λέγει ἐννοεῖν Παῦλον τὸν ὁμολογητήν· Ἡσαῦ δὲ τὸν Νικομηδείας Εὐσέβειον· ἡ δὲ μεταφορὰ ἐκ τῶν τοῦ Μαλαχίου λέγοντος· ά. 2. Οὐκ ἀδελφὸς ἦν Ἡσαῦ τοῦ Ἰακὼβ λέγει Κύριος· καὶ ἠγάπησα τὸν Ἰακὼβ, τὸν δὲ Ἡσαῦ ἐμίσησα· Καὶ Παῦλος πρὸς Ῥωμ. θ'. 15. Καθὼς γέγραπται, φησὶ, τὸν Ἰακὼβ ἠγάπησα τὸν δὲ Ἡσαῦ ἐμίσησα. — 11. Ταῦτα.) Τὰ ἐν Ἀλεξανδρείᾳ γεγενημένα.

§ 54. 2. Τήνδε.) Τὴν τῶν Καισαρέων. — 3. Καὶ τὸν λειπόμενον.) Καὶ ἐπὶ τὸν λειπόμ. — 4. Καὶ ὡς κάλως.) Καὶ καθάπερ τὸ τεινόμενον σχοινίον ῥαγὲν πρὸς τὸν τείναντα ἀνθυποστρέφει. — 5. Προβόλῳ.) Ἐκ μεταφορᾶς τῶν ἐν τῇ θαλάσσῃ προβεβλημένων πετρῶν, τὸν θυμὸν τῶν κυμάτων ὑποδεχομένων, ἅπερ πρὸς αὐτὰς ῥηγνύμενα διαλύεται εἰς ἀφρόν.

§ 55. Ἱστορεῖ δὲ οὐδεὶς ὅστις οὐ τῶν ἁπάντων.) Ἀντὶ Πάντες ἱστοροῦσι· τὸ γὰρ Οὐδεὶς ὅστις οὐ τῶν ἁπάντων, τὸ Πάντες δηλοῖ, περιφραστικῶς λεγόμενον ἐν σχήματι δεινότητος. — 3. Τοὺς τότε ἀγῶνας.) Τοῦ Οὐάλεντος κατὰ τοῦ

ἐκ τοῦ δικαστικοῦ τάγματος προσπεμπομένους αὐτῷ καὶ πείθειν ἐπιχειροῦντας, τοὺς ἐκ τοῦ στρατιωτικοῦ, τοὺς ἐκ τῆς γυναικωνίτιδος,[4] τοὺς ἐν γυναιξὶν ἄνδρας, καὶ ἐν ἀνδράσι γυναῖκας, τοὺς τοῦτο μόνον ἀνδρικοὺς τὴν ἀσέβειαν. Οἱ τὸ φυσικῶς ἀσελγαίνειν οὐκ ἔχοντες, ᾧ δύνανται μόνον, τῇ γλώσσῃ πορνεύουσι· τὸν ἀρχιμάγειρον Ναβουζαρδὰν,[5] τὰς ἐκ τῆς τέχνης μαχαίρας ἐπαπειλοῦντα, καὶ τῷ οἰκείῳ[6] πυρὶ πεμπόμενον. Ὁ δὲ μάλιστά μοι τῶν ἐκείνου θαυμάσιον, καὶ οὐδὲ βουλομένῳ παρελθεῖν δυνατὸν, τοῦτο δώσω τῷ λόγῳ συνελὼν ὅσον ἐνδέχεται.

§ 56. Τίς οὐκ οἶδε τὸν τηνικαῦτα ὕπαρχον,[2] πολλῷ μὲν τῷ οἰκείῳ θράσει καθ' ἡμῶν μάλιστα χρώμενον, ἐπειδὴ καὶ παρ' ἐκείνων[3] ἦν τῷ βαπτίσματι τελεσθεὶς ἢ συντελεσθείς·[4] πλείω δὲ τῶν ἀναγκαίων ὑπηρετοῦντα τῷ ἐπιτάττοντι,[5] καὶ διὰ τοῦ πάντα χαρίζεσθαι τὸ κράτος ἑαυτῷ συντηροῦντα, καὶ φυλάττοντα χρονιώτερον; Τούτῳ βρέμοντι κατὰ τῆς Ἐκκλησίας, καὶ λεόντιον μὲν τὸ εἶδος προβεβλημένῳ, λεόντιον δὲ βρυχωμένῳ, καὶ μηδὲ προσιτὸν πλείοσιν, ὁ γεννάδας[6] ἐκεῖνος εἰσάγεται· μᾶλλον δὲ εἴσεισιν, ὥσπερ εἰς ἑορτὴν, οὐκ εἰς κρίσιν καλούμενος. Πῶς ἂν ἀξίως διηγησαίμην ἢ τὴν τοῦ ὑπάρχου θρασύτητα, ἢ τὴν τοῦ ἀνδρὸς πρὸς αὐτὸν μετὰ συνέσεως ἔνστασιν; Τί σοι, φησὶν, ὦ οὗτος, βούλεται, (τοὔνομα προσειπὼν, οὔπω γὰρ ἐπίσκοπον ἠξίου καλεῖν,) τὸ κατὰ τοσούτου κράτους τολμᾷν, καὶ μόνον τῶν ἄλλων ἀπαυθαδιάζεσθαι; Τοῦ χάριν,[7] ὁ γεννάδας φησὶ, καὶ τίς ἡ ἀπόνοια; οὔπω γὰρ ἔχω γινώσκειν. Ὅτι μὴ τὰ βασιλέως θρησκεύεις, φησὶ, τῶν ἄλλων ἁπάντων ὑποκλιθέντων καὶ ἡττημένων. Οὐ γὰρ ταῦτα, ἔφη, βασιλεὺς ὁ ἐμὸς[8] βούλεται, οὐδὲ κτίσμα τὶ προσ-

---

μεγ. Βασιλ. — 4. Τοὺς ἐκ τῆς γυναικωνίτιδος.) Τοὺς Εὐνούχους δηλ. — 5. Τὸν ἀρχιμάγειρον Ναβουζαρδάν.) Τὸν ἀρχιμάγειρον Οὐάλεντος λέγει τὸν Δημοσθένη· ὥσπερ γὰρ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος Ναβουχοδονόσορος βασιλέως Βαβυλῶνος ἐλθὼν εἰς Ἱεροσόλυμα τόν τε οἶκον Κυρίου ἐνέπρησε καὶ τὸν τοῦ βασιλέως, καὶ πάντας τοὺς λοιποὺς οἴκους καὶ τὰ τείχη κατέσπασε. Βασιλ. Δ'. κε. 8. οὕτω καὶ οὗτος φοβερὸς παρεγένετο εἰς τὸν μέγ. Βασιλ. ἠπείλει γὰρ αὐτὸν τὰς ἐκ τῆς τέχνης μαχαίρας ταῖς χερσὶ κρατῶν. — 6. Καὶ τῷ οἰκείῳ.) Καὶ ὅστις ἐπέμπετο τῷ αἰωνίῳ πυρὶ, οἰκείῳ αὐτῷ ὄντι ὡς μαγείρῳ.

56. 2. Ὕπαρχον.) Μόδεστος δὲ ἐκαλεῖτο ὁ τότε ἐν Καισαρείᾳ ὕπαρχος. — 3. Παρ' ἐκείνων.) Τῶν αἱρετικῶν ἐπισκόπων. — 4. Συντελεσθείς.) Ἐνταῦθα τὸ Συντελεσθῆναι ἀντὶ τοῦ Καταποντισθῆναι, ἀφανισθῆναι, καὶ ἀπολεσθῆναι, εἰλῆφθαι φησὶ Νικήτας· ὥστε τὸν νοῦν εἶναι· Οἱ παρ' αἱρετικῶν βαπτιζόμενοι, οὐ βαπτίζονται, ἀλλὰ καταβαπτίζονται· ὡς ἐν τῷ περὶ βαπτίσματος λέγει· Ζήτει τὸν βαπτιστὴν, ἢ καταβαπτιστήν. — 5. Τῷ ἐπιτάττοντι.) Βασιλεῖ Οὐάλεντι. — 6. Ὁ γεννάδας.) Μέγ. Βασιλ. — 7. Τοῦ χάριν.) Ἀντὶ Τίνος χάριν· οἷον· διὰ τί οὕτω με ἐρωτᾷς; καὶ τίς ἐστιν ἡ ἐμὴ κατὰ τοῦ κρατοῦντος αὐθάδεια· εἰπέ μοι· ἐγὼ γὰρ οὐδεμίαν γινώσκω. — 8. Βασιλεὺς ὁ ἐμός.) Ὁ Οὐράνιος δηλ. βασιλεὺς Κύριος ἡμῶν Ἰησοῦς Χριστός. — 9. Κτίσμα τὶ προσκυνεῖν.) τὸν Υἱὸν δηλ. τοῦ Θεοῦ κτίσμα λέγειν καὶ οὐ τῷ Πατρὶ ὁμοούσιον, ὅπερ ὑμεῖς οἱ τὰ

κυνεῖν[9] ἀνέχομαι, Θεοῦ τε κτίσμα τυγχάνων, καὶ Θεὸς εἶναι[10] κεκελευσμένος. Ἡμεῖς δὲ τί σοι δοκοῦμεν; ἢ οὐδὲν,[11] ἔφη, ταῦτα προστάττοντες; τί δαί;[12] οὐ μέγα σοι τὸ μεθ᾽ ἡμῶν τετάχθαι, καὶ κοινωνοὺς ἔχειν ἡμᾶς; Ὕπαρχοι μὲν, φησιν, ὑμεῖς, καὶ τῶν ἐπιφανῶν, οὐκ ἀρνήσομαι· οὔπω δὲ Θεοῦ τιμιώτεροι. Καὶ τὸ κοινωνοὺς ἔχειν μέγα μὲν, πῶς γὰρ οὔ; πλάσμα Θεοῦ καὶ ὑμεῖς· ἀλλ᾽ ὡσεί τινας[13] ἄλλους τῶν ὑφ᾽ ἡμῖν τεταγμένων· οὐ γάρ[14] προσώποις τὸν Χριστιανισμὸν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι. Τότε δὴ[15] κινηθέντα τὸν ὕπαρχον, ζέσαι τε πλέον τῷ θυμῷ, καὶ τῆς καθέδρας ἐξαναστῆναι, καὶ τραχυτέροις πρὸς αὐτὸν χρήσασθαι λόγοις. Τί δὲ σὺ φοβῇ τὴν ἐξουσίαν, φησί; Μή τι γένηται,[16] μηδὲ τι πάθω; Μή τι τῶν πολλῶν[17] ἕν, ἃ τῆς ἐμῆς δυναστείας ἐστί. Τίνα ταῦτα[18] γνωριζέσθω γὰρ ἡμῖν. Δήμευσιν,[19] ἐξορίαν, βασάνους, θάνατον. Ὅτι ἄλλο, φησὶν,[20] ἀπείλει· τούτων γὰρ οὐδὲν ἡμῶν ἅπτεται. Καὶ τὸν[21] εἰπεῖν· πῶς; καὶ τίνα τρόπον; Ὅτι τοι, ἔφη, δημεύσει μὲν οὐχ ἁλωτὸς ὁ μηδὲν ἔχων, πλὴν εἰ τούτων χρήζεις τῶν τριχίνων μου ῥακίων καὶ βιβλίων ὀλίγων, ἐν οἷς ὁ πᾶς ἐμοὶ βίος.[22] Ἐξορίαν δὲ οὐ γινώσκω, ὁ μηδενὶ τόπῳ περιγραπτὸς, καὶ μήτε ταύτην[23] ἔχων ἐμὴν, ἣν οἰκῶ νῦν, καὶ πᾶσαν ἐμὴν, εἰς ἣν ἂν ῥιφῶ· μᾶλλον δὲ Θεοῦ πᾶσαν, οὗ πάροικος[24] ἐγὼ καὶ παρεπίδημος. Αἱ βάσανοι δὲ, τί ἂν λάβοιεν, οὐκ ὄντος σώματος· πλὴν εἰ τὴν πρώτην λέγοις πληγὴν, ταύτης γὰρ σὺ μόνος κύριος. Ὁ δὲ θάνατος εὐεργέτης· καὶ γὰρ θᾶττον πέμψει με πρὸς Θεὸν, ᾧ ζῶ καὶ πολιτεύομαι, καὶ τῷ πλείστῳ τέθνηκα, καὶ πρὸς ὃν ἐπείγομαι πόῤῥωθεν.

---

Ἀρείου κακοδοξήματα φρονοῦντες ποιεῖτε. Ψαλ. πά. 9. — 10. Καὶ Θεὸς εἶναι.) Κατὰ χάριν δηλ. ὅθεν καὶ ὁ προφητάναξ Δαβὶδ φησίν. Ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· ψαλμ. πά. 6. — 11. Ἢ οὐδέν.) Ἀπὸ κοινοῦ, Σοὶ δοκοῦμεν εἶναι. — 12. Τί δαί;) Ὁ Δαὶ ἐν ἐρωτήσει, φασίν, καὶ γράφεται ἵν᾽ ἔμφασίν τε ἔχει ὁ λόγος, ἐπὶ μακροτέρου χρόνου ἐκτεινόμενος, καὶ ἐπὶ πλέον τοῦ στόματος ἀνοιγομένου· ἔχει δὲ ἐννοούμενον τὸ Δοκεῖ σοι. — 13. Ἀλλ᾽ ὡσεί τινας.) Ἀλλὰ βούλομαι ἔχειν κοινωνοὺς ὑμᾶς κατὰ τὴν εὐσέβειαν, καθάπερ καὶ ἄλλους τινὰς εὐσεβεῖς τεταγμένους ὄντας ὑπὸ τῷ ἡμετέρῳ δόγματι τῷ ὀρθῷ. — 14. Οὐ γάρ.) Φημὶ δηλ. — 15. Τότε δή.) Λέγεται δηλ. Ὁρῶν δηλ. ὁ ὕπαρχος τὸν μέγ. Βασίλ. μὴ ὑποκλινόμενον τῷ αὐτοῦ θελήματι, ἀλλὰ καὶ ὑπάγειν αὐτὸν εἰς εὐσέβειαν, ἐπιχεῖ ῥοῦντα, ὀργίσθη τι πλέον. — 16. Μή τι γένηται) Ἀπόκρισις τοῦ μεγ. Βασιλ. Τίνος ἕνεκα λέγεις, μὲ φοβηθῆναι; ἵνα μή μοι τι δεινὸν συμβῇ; ἢ ἵνα μή τι πάθω δεινόν; — 17. Μή τι τῶν πολλῶν.) Λόγοι τοῦ Ὑπάρχου· Ναί φησεν, ἵνα μὴ πάθῃς τι τῶν πολλῶν δεινῶν, ὅσα εἰσὶν ἀποτελέσματα τῆς ἐμῆς δυναστείας. — 18. Τίνα ταῦτα.) Εἰσί; φησὶν ὁ μέγ. Βασίλ. — 19. Δήμευσιν.) Ἵνα μὴ πάθῃς, φησὶν ὁ ὕπαρχος δήμευσιν καὶ τλ. — 20. Φησίν.) Ὁ μέγ. Βασίλ. ἐάν τι ἄλλο ἔχῃς ἀπειλεῖν, ἀπείλει. — 21. Καὶ τόν.) Λέγουσιν ὅτι ὁ Μόδεστος εἶπεν· πῶς οὐχ ἅπτεταί σου ταῦτα. — 22. Ὁ πᾶς . . . βίος.) Βίος ἐνταῦθα ὅμοιον τῷ παρ᾽ ἡμῖν ἐν συνηθείᾳ λεγόμενον ἀντὶ τοῦ πλοῦτος, καὶ ἡ περιουσία. — 23. Ταύτην.) Τὴν Καισάρειαν. — 24. Πάροικος.) Ψαλ. λή. 12.

ΙΩΑΝΝΙΝΑ 2006